μηδὲν περιττεύειν τε κἀλλείπειν ὅλως·
ἄλλως γὰρ οὐδὲν ἂν διαπράττοιθ᾽ ὅδε.
εἰ τοῖσδ᾽ ἀνοικείοισι γὰρ χρήσαιτό που,
οὐδὲν περαίνοι τοῖσδ᾽ ἂν ὡς ἀσυμφόροις· μ. 849
εἰ δ᾽ αὖ περιττοῖς, δεινὸν ἂν πέλοι τόδε,
ὡς τῷ περιττῷ πημονὴν μᾶλλον φέρον. μς. 964
εἰ δ᾽ αὖ ποτ᾽ ἂν χρήσαιτο τοῖσδ᾽ ἐλλειπέσιν,
οὐδὲν τελειοῖ. τοιγαροῦν χρῆσθαι δέον
ἀεί ποθ᾽ ἁρμόττουσι, καὶ θηρατέον
τὸ μέτριον δήπουθεν οἷα συμφέρον,
εἰ τυγχάνειν θέλει τις εὐστόχως τέλους (ι).
ἅπαν δ᾽ ἄμετρον κἀλλιπὲς δὴ φευκτέον (κ),
ἐπιβλαβῆ θ᾽ ὡς καὶ σκοποῦ ᾽κτρέποντά που.
ὧν τοὐλλιπὲς μὲν φροῦδον ἂν πέλοι μόνον,
τὸ δ᾽ οὖν ἄμετρον βλαπτικώτατον πάνυ.

ΜΗ. Πᾶν μέτριον σώζει γὰρ ἰσομοιρίαν
κινήσεων αἷς σώζεται ξύμπαν δέμας,
ἰσόρροπον δὴ χρῆσιν αὐτῶν κἀρτίαν,
ἐν ᾗ βέβηκε πᾶν τὸ τῆς εὐεξίας·
ὅπερ δ᾽ ἄμετρον τοῦτ᾽ ἀφεῖλε τῶνδέ που
ἰσόρροπον πᾶν ἰσομοιρίας σθένος,
ἔβλαψε δ᾽ ἄκρως τῶνδε χρῆσιν ἀρτίαν,
καὶ δὴ νόσημ᾽ ἤνεγκε δεινὸν ῥᾳδίως. μς. 969
τῷ πρόσθεν οὖν γε τοῦτο προσθειμένου

ἠυξη-

(ι) Περὶ τόπ. τῶν κατ᾽ ἄνθρ. νη. (κ) ἀφορ. Β. δ.